07/12/2022

# 7 Δεκεμβρίου: Εορτάζει ο Άγιος Αμβρόσιος

/ Βίοι Αγίων




**Τὸ φθαρτὸν Ἀμβρόσιος ἐκδὺς σαρκίον,**

**Θείας μετέσχεν ἀμβροσίας ἀξίως.**

**Ἑβδόμῃ Ἀμβρόσιος ποτὶ ἄμβροτον ἦλυθεν οὖδας.**

Ο **Άγιος Αμβρόσιος** ήταν διακεκριμένος Ρωμαίος πολίτης και γεννήθηκε το 340 μ.Χ. Σπούδασε ρητορική, φιλοσοφία και νομικά. Στα Μεδιόλανα ασχολήθηκε με το επάγγελμα του δικαστή. Φύλασσε με λόγια και έργα την αλήθεια και απέδιδε αντικειμενικά τη δικαιοσύνη , αν και δεν είχε βαπτισθεί ακόμα χριστιανός. Όσον αφορά σ' αυτό όμως, απαντά ο θεόπνευστος λόγος της Αγίας Γραφής: «Ἀλλ᾽ ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστι» (Πράξεις, ι' 35). Δηλαδή, σε κάθε έθνος, όποιος σέβεται το Θεό και πολιτεύεται στη ζωή του με δικαιοσύνη, είναι δεκτός απ' Αυτόν και είναι δυνατόν να αρέσει σ'

Αυτόν.

Και πράγματι, ο Αμβρόσιος με τη ζωή του άρεσε στο Θεό. Γι’ αυτό και τον αξίωσε να βαπτισθεί χριστιανός, να γίνει έπειτα αναγνώστης, και αφού μέσα σε λίγο χρονικό διάστημα πέρασε όλους τους εκκλησιαστικούς βαθμούς, μετά από απόφαση του βασιλιά Ουαλεντιανού του Α’, χειροτονήθηκε επίσκοπος Μεδιολάνων.

Σαν επίσκοπος, ο Αμβρόσιος ποίμανε άριστα το ποίμνιό του, αγωνίστηκε κατά των αιρέσεων, αλλά και το βασιλιά Θεοδόσιο δεν επέτρεψε να εισέλθει στο ναό, παρά μόνο όταν μετάνιωσε ειλικρινά για τους φόνους που έκανε στον Ιππόδρομο της Θεσσαλονίκης. Ο Αμβρόσιος πέθανε ειρηνικά το έτος 397 μ.Χ., σε ηλικία 57 χρονών.

# Λειτουργικά κείμενα

### Ἀπολυτίκιον (Κατέβασμα)

Ἦχος δ’. Ταχὺ προκατάλαβε.

Ὡς θεῖος διδάσκαλος καὶ ἱεράρχης σοφός, δογμάτων ἀκρίβειαν μυσταγωγεῖς τοὺς πιστούς, Ἀμβρόσιε ὅσιε· λύεις αἱρετιζόντων τὴν ἀχλὺν τοῖς σοῖς λόγοις· φαίνεις τῆς εὐσεβείας τὴν θεόσδοτον χάριν· ἐν ᾗ τούς σὲ γεραίροντας συντήρει ἀπήμονας.

### Ἕτερον Ἀπολυτίκιον

Ἦχος α’.

Τὸν τῆς ἀμβροσίας ἐπώνυμον, καὶ τῆς Ἰταλίας διδάσκαλον, τὸν προστάτην τῆς Χριστοῦ Ἐκκλησίας, καὶ Μεδιολάνων τὸν πρόεδρον, τὸν τοῦ ἐπάρχου υἱόν, καὶ τῶν πτωχῶν ἀντιλήπτορα μέγιστον, Ἀμβρόσιον τὸν ἔνδοξον Ἱεράρχην πάντες τιμήσωμεν, πρεσβεύει γὰρ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

### Κοντάκιον

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἑορτάζει σήμερον, ἡ οἰκουμένη, τὴν σὴν μνήμην πάνσοφε, ὡς Ἱεράρχην τοῦ Χριστοῦ, μεγαλοφώνως τιμῶσά σε, Πάτερ Πατέρων, Ἀμβρόσιε ἔνδοξε.

Ἕτερον Κοντάκιον

Ἦχος γ’. Θείας πίστεως.

Θείοις δόγμασι περιαστράπτων, ἀπημαύρωσας Ἀρείου πλάνην, Ἱερομύστα καὶ ποιμὴν Ἀμβρόσιε· θαυματουργῶν δὲ δυνάμει τοῦ Πνεύματος, πάθη ποικίλα σαφῶς ἐθεράπευσας. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Ὁ Οἶκος**

Τὸν ἐκ κοιλίας ἡγιασμένον Ἱεράρχην Κυρίου, ἀνευφημήσωμεν νῦν τὸν τῆς χάριτος, πλάκας δεξάμενον θείας δόξης, καὶ ἐν θαύμασι περιβόητον πᾶσι, καὶ ὡς θερμόν, καὶ αὐτόπτην τῆς θείας ἐλλάμψεως, ὡς τῶν πενήτων προστάτην καὶ τῶν ἁμαρτανόντων ψυχαγωγόν. Οὗτος γὰρ θύων τῷ βήματι τοῦ Χριστοῦ, Ἱεράρχης πιστὸς ἀναδέδεικται. Διὰ τοῦτο βοῶμεν αὐτῷ· Πάτερ Πατέρων, Ἀμβρόσιε ἔνδοξε.

**Κάθισμα**

Ἦχος δ’. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Λόγους ζωῆς Πάτερ σοφὲ κεκτημένος, τὰς διανοίας τῶν πιστῶν καταρδεύεις, καὶ καρποφόρους χάριτι δεικνύεις ἀεί, τῶν αἱρετιζόντων δέ, κατακλύζεις τὰς φρένας, χάριν ἀναβλύζων τε, ἰαμάτων ἐκπλύνεις, παθῶν παντοίων ῥύπον ἀληθῶς, ἱερομύστα θεόφρον Ἀμβρόσιε.

Πηγή: Ορθόδοξος Συναξαριστής